UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

Cap. II.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A ἐξ ἀλήκτου καὶ ἀνάρχου θεότητος ἀναβλυστάνον, ἔξω πρόεισι. τὸν ὑπερουράνιον χῶρον, τά τε εἴσω οὐρανοῦ πάντα, κρείττοσιν ἢ καθ' ἥλιον σοφίας καταλάμπον αὐγαῖς· αὐτὸς δ' ἂν εἴη ὁ τοῦδε τοῦ σύμπαντος καθηγεμὼν κόσμου. ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν ὁρωμένοις τε καὶ ἀφανέσιν ἐπιπορευόμενος τοῦ Θεοῦ λόγος· παρ' οὗ καὶ δι' οὗ τῆς ἀνωτάτω βασιλείας τὴν εἰκόνα φέρων ὁ τῷ Θεῷ φίλος βασιλεύς, κατὰ μίμησιν τοῦ κρείττονος, τῶν ἐπὶ γῆς ἁπάντων τοὺς οἴακας διακυβερνῶν, ἰθύνει.

B Ὁ μέν γε τοῦ Θεοῦ μονογενὴς λόγος, τῷ αὐτοῦ πατρὶ συμβασιλεύων ἐξ ἀνάρχων αἰώνων εἰς ἀπείρους καὶ ἀτελευτήτους αἰῶνας· ὁ διαρκὴς δὲ τούτῳ φίλος, ταῖς ἄνωθεν βασιλικαῖς ἀπορροίαις χορηγούμενος, τῇ τε τῆς θεϊκῆς ἐπηγορίας ἐπωνυμίᾳ δυναμούμενος, μακραῖς ἐτῶν περιόδοις τῶν ἐπὶ γῆς κρατεῖ. εἶθ' ὁ μὲν τῶν ὅλων σωτήρ, τὸν σύμπαντα οὐρανόν τε καὶ κόσμον, τήν τε ἀνωτάτω βασιλείαν, εὐπρεπῆ τῷ αὐτοῦ πατρὶ παρασκευάζει· ὁ δὲ τούτῳ φίλος, αὐτῷ τῷ μονογενεῖ καὶ σωτῆρι λόγῳ τῶν ἐπὶ γῆς τοὺς ὑποχειρίους προσάγων, ἐπιτηδείους πρὸς τὴν αὐτὴν βασιλείαν καθίστησι. καὶ ὁ μὲν κοινὸς τῶν ὅλων C σωτήρ, τὰς ἀποστατικὰς δυνάμεις, ὅσαι ποτὲ ἀμφὶ τόνδε τὸν ὑπὲρ γῆς ἀέρα διιπτάμεναι ταῖς τῶν ἀνθρώπων ἐνεχρίμπτοντο ψυχαῖς, ἀοράτῳ καὶ θεϊκῇ δυνάμει, οἷα θῆρας ἀγρίους, τῶν αὐτοῦ θρεμμάτων ποιμένος ἀγαθοῦ δίκην, πορρωτάτω καθίστησιν· ὁ δὲ τούτῳ φίλος, ἄνωθεν παρ' αὐτοῦ τοῖς κατ' ἐχθρῶν κοσμούμενος τροπαίοις, τοὺς ἐμφανεῖς τῆς ἀληθείας ἐχθροὺς νόμῳ πολέμου χειρούμενος, σωφρονίζει. καὶ ὁ μὲν λόγος ὢν προκόσμιος καὶ σωτὴρ τῶν ὅλων, λογικὰ καὶ σωτηριώδη σπέρματα τοῖς αὐτοῦ παραδιδοὺς θιασώταις, λογικοὺς ἅμα καὶ τῆς τοῦ πατρὸς βασι- D λείας ἐπιστημονικοὺς ἀπεργάζεται· ὁ δὲ τούτῳ φίλος, οἷά τις ὑποφήτης τοῦ Θεοῦ λόγου, πᾶν γένος ἀνθρώπινον ἐπὶ τὴν τοῦ κρείττονος ἀνακαλεῖται γνῶσιν. ταῖς πάντων ἀκοαῖς ἐμβοῶν, μεγάλῃ τε τῇ φωνῇ τοῖς ἐπὶ γῆς ἅπασι τοὺς τῆς ἀληθοῦς εὐσεβείας καὶ ἀληθείας ἀνακηρύττων νόμους. καὶ ὁ μὲν τῶν ὅλων σωτήρ, τὰς οὐρανίους πύλας τῆς τοῦ πατρὸς βασιλείας, τοῖς ἐνθένδε ἐκεῖσε μεθισταμένοις ἀναπετάννυσιν· ὁ δὲ ζηλωτὴς τοῦ κρείττονος, πάντα ῥύπον ἀθέου πλάνης τῆς κατὰ γῆν βασιλείας ἀποκαθηράμενος, χοροὺς ὁσίων καὶ

A Quæque supernè ex divinitate principii ac finis expertè emanans, extra procedit; & supercælestem regionem, cunctaque quæ intra cælum sunt, sapientiæ luce, quæ Solis splendore longè præstantior est, illustrat. Hic est totius mundi Dominus, supra omnia & per omnia, & in omnibus tam visibilibus quàm invisibilibus incedens Dei sermo. A quo & per quem, hic noster Deo carus Imperator, cælestis Imperii imaginem gerens, terrena cuncta quorum gubernaculis admotus est, instar Dei moderatur.

B Et ille quidem unigenitus Dei sermo, à sæculis principio carentibus ad infinita usque & interminata sæcula regnat cum Patre. Noster verò Imperator eidem perpetuò carissimus, qui ex cælesti fonte Imperiales quosdam percipit effluxus, & divinæ appellationis cognomento roboratur, multis jam annorum circulis & conversionibus terras regit. Præterea ille quidem omnium Conservator, cælum ac mundum universum ac cæleste Regnum Patri suo decentissimum atque aptissimum comparat. Hic verò ejus amicus, ex his qui in terris degunt, C omnes Imperio suo subjectos ad unigenitum Dei sermonem Servatorémque adducens, idoneos ad ejus Regnum efficit. Et ille quidem communis omnium Servator, rebelles illas potestates, quæ per hunc terræ proximum aërem volitantes hominum animis incubabant, tanquam bonus pastor feras bestias, spiritali quadam & divina virtute ab ovili suo longissimè expellit. Hic ejus amicus, multis tropæis ab ipso cælitus exornatus, apertos veritatis hostes belli jure sibi subjiciens, pœna afficit. Ille utpote ratio ante mundum subsistens, & omnium D rerum Conservator, rationalia ac salutaria semina suis tradens sodalibus, rationales eos reddit & paterni Regni scientia instructos. Hic ejusdem amicus, velut quidam interpres Verbi Dei, universum genus humanum ad cognitionem Dei revocat: omnium auribus inclamans, & clara voce, veræ pietatis ac veritatis leges cunctis per orbem terrarum degentibus annuntians. Ille omnium Servator, cælestes paterni Regni portas hinc eò migrantibus aperit. Hic verò Dei exemplum æmulatus, postquam terrenum Imperium cunctis errorum sordibus purga-

CAP. II.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

vit, sanctorum ac piorum hominum cœtus in sacras ædes & basilicas invitat; summam adhibens curam ac diligentiam, ut tota classis quam regendam accepit, cum ipsis vectoribus conservetur. Solúsque ex omnibus qui Romano Imperio unquam præfuerunt, tertio jam decennalium circuitu à summo omniū Imperatore Deo honoratus, hanc festivitatem non terrenis quibusdam spiritibus, ut veteres illi; nec spectris dæmonum imperitam multitudinem seducentium; nec fraudibus & commentis hominum impiorum celebrat: Sed ipsi à quo honoratus est Deo, gratias persolvit; conscius scilicet bonorum quæ ab eo accepit.

CAP. II. Non veterum ritu, palatium cruore ac tabo inquinans; nec fumo & igne & holocaustis terrenos dæmones placans: verùm summo omniū Regi gratam & acceptam victimam, suum videlicet regium animum, ac mentem Deo dignissimam consecrans. Sola enim hæc victima Deo jucunda est: quam Imperator noster absq; igne & sanguine, puris animi cogitationibus litare condidicit: dum partim veris opinionibus ac sententiis in animo reconditis pietatem confirmat; partim magnificis orationibus laudes Dei prædicat, & regiis actibus Dei clementiam æmulatur; totus ei addictus; magnique instar doni semetipsum ei dedicans, velut primitias orbis cujus ipse administrationem accepit. Hanc igitur maximam hostiam ante omnes ritè immolat Imperator. Immolat verò utpote bonus pastor, non

*Agnorum cædens primogenitorum hecatombas:*

Sed rationalis gregis qui ab ipso pascitur animos, ad cognitionem Dei cultumq; perducens.

CAP. III. At Deus hujusmodi delectatus hostia, donúmque sibi oblatum libenter accipiens, venerandi hujus & eximii sacrificii Antistitem collaudat, multósque annorum circuitus ejus Imperio adjicit; pro modo religionis qua ab Imperatore colitur, sua in illum beneficia vicissim adaugens. Omnesque ei festivitates celebrare concessit cum summa singularis Imperii felicitate; singulis decennalium circulis unum ex ejus liberis ad Imperialis throni consortium promovens. Primò enim natu maximum qui paterno appellatur nomine, primo Imperii decennio consortem Regni renuntiavit: Eum dein-

A εὐσεβῶν ἀνδρῶν, εἴσω βασιλικῶν οἴκων εἰσκαλεῖται. αὔτανδρον τὸν σύμπαντα στόλον τῶν ὑπ' αὐτῷ κυβερνωμένων, διασώσασθαι προμηθούμενος· πανήγυρίν τε ταύτην μόνος ἐξ ὧν τῶν πώποτε Ῥωμαίων καθηγεμονεύσας τῆς βασιλείας, τριτταῖς ἤδη περιόδοις δεκαέτησι πρὸς τοῦ παμβασιλέως Θεοῦ τιμηθείς, οὐ χθονίοις κατὰ τοὺς παλαιοὺς συντελεῖ πνεύμασιν, οὐδὲ λαοπλάνων φάσμασι δαιμόνων, οὐδ' ἀπάταις καὶ λήροις ἀθέων ἀνδρῶν. αὐτῷ δὲ τὰ χαριστήρια τῷ τετιμηκότι, συνῃσθημένος τῶν
B εἰς αὐτὸν κεχορηγημένων ἀγαθῶν, ἀποδίδωσιν· οὐ κατὰ τοὺς παλαιούς, αἵμασι καὶ λύθροις τοὺς βασιλικοὺς οἴκους μιαίνων· οὐδὲ καπνῷ καὶ πυρὶ ζώων τε ὁλοκαύτων θυσίαις, χθονίους δαίμονας ἀπομειλισσόμενος· τὴν δ' αὐτῷ τῷ βασιλεῖ τῶν ὅλων προσφιλῆ καὶ χαριεστάτην θυσίαν, αὐτὴν δηλαδὴ τὴν αὐτοῦ βασιλικὴν ψυχὴν καὶ τὸν νοῦν τὸν θεοπρεπέστατον, ἀφιερῶν αὐτῷ. θυσία γὰρ αὕτη προσηνὴς αὐτῷ μόνη, ἣν ὁ βασιλεὺς ὁ ἡμεδαπός, καλλιερεῖν ἀπύρῳ καὶ ἀναίμοις τοῖς κατὰ διάνοιαν κεκαθαρμένοις λογισμοῖς δεδίδακται. ψυχῆς μὲν ἀδιαψεύ-
C στοις δόγμασι, τὰ τῆς εὐσεβείας κρατύνων, λόγῳ δὲ μεγαλοπρεπεῖ γεραίρων τὴν θεολογίαν, πράξεσί τε βασιλικαῖς τὴν τοῦ κρείττονος ζηλῶν φιλανθρωπίαν. ὅλος τε ἀνακείμενος αὐτῷ, καὶ μέγα δῶρον ἀνατιθεὶς αὐτὸς ἑαυτόν, ἐπιτετραμμένου κόσμου τὸ ἀκροθίνιον. τοῦτο δὴ μέγιστον ἱερεῖον πρὸ τῶν ἁπάντων καλλιερεῖ βασιλεύς. θύει δ' ἅτε ποιμὴν ἀγαθός, οὐ δῆτα πρωτογόνων ῥέζων κλειτὰς ἑκατόμβας, τῶν δ' ὑπ' αὐτῷ ποιμαινομένων λογικῶν θρεμμάτων τὰς ψυχάς, τῇ αὐτοῦ γνώσει καὶ εὐσεβείᾳ προσάγων. Ὁ δὲ τῷ τοιῷδε χαίρων ἱερείῳ, καὶ
D τὸ δῶρον ἀσμένως ἀσπαζόμενος. τῆς σεμνῆς καὶ καλλιπρεποῦς θυσίας τὸν ἱεροφάντην ἀγάμενος, προσθήκας αὐτῷ μακρῶν χρόνων τῆς βασιλείας προστίθησιν. ἀμειβόμενος ταῖς εἰς αὐτὸν ὁσίαις αὔξων τὰς εὐεργεσίας. παρέχει τε παντοίας ἑορτὰς ἐκτελεῖν σὺν πολλῇ τῇ ῥᾳστώνῃ τῆς μοναρχίας. ἐφ' ἑκάστῃ περιόδῳ δεκαετοῦς πανηγύρεως, ἕνα τινὰ τῶν αὐτοῦ παίδων, ἐπὶ τὴν τοῦ βασιλικοῦ θρόνου κοινωνίαν προχειριζόμενος· πρῶτόν γε τοῦ πατρὸς τὸν ὁμώνυμον, κατὰ τὴν πρώτην τῆς βασιλικῆς περιόδου δεκαετη-

τὸ